ἐπεὶ δ' ἀρτίφρων
ἐγένετο μέλεος ἀθλίων
γάμων, ἐπ' ἄλγει δυσφορῶν
μαινομένᾳ κραδίᾳ
δίδυμα κάκ' ἐτέλεσεν·
πατροφόνῳ χερὶ τῶν
κρεισσοτέκνων ὀμμάτων ἐπλάγχθη.

Antistrofe 5.

τέκνοισιν δ' ἀρὰς
ἐφῆκεν ἐπικότους τροφᾶς,
αἰαῖ, πικρογλώσσους ἀρὰς,
καί σφε σιδαρονόμῳ
διὰ χερί ποτε λαχεῖν
κτήματα· νῦν δὲ τρέω
μὴ τελέσῃ καμψίπους Ἐρινύς.

763. ἀρτίφρων consapevole. — μέλεος egli infelice, cioè Edipo. — ἐπ' ἄλγει δυσφορῶν disperato pel dolore. — μαινομένᾳ κραδίᾳ pazzamente. — δί-δυμα, i due suoi errori furono che si accieċò, e maledì i figli. — **769.** κρεισσοτέκνων ὀμμάτων viene interpretato: *oculis, qui liberis cariores sunt, sese privavit* (ἐπλάγχθη si allontanò, πλάζω), ma la lezione è sospetta.

770. ἀρὰς ἐπικότους τροφᾶς maledizioni irose pel nutrimento; allude alla leggenda che i figli chiudessero il padre Edipo in carcere e gli facessero mancare perfino il cibo (v. le Ὑποθέσεις) e che perciò egli li maledicesse. Altri intese: irose, per avere allevato (tali) figli. — πικρογλώσσους amaramente pronunciate (γλῶσσα). — **773.** σφε = αὐτούς. — λαχεῖν dividersi fra loro; l' infin. dipende da un ἀρᾶται, sott., facilmente suggerito dall' ἀράς che precede. — **776.** καμψίπους (κάμπτω e πούς) *pedes* (i. e. *genua*) *flectens*, per dire: rapida, veloce. Esichio e lo Scol. intesero invece che fosse detta così perchè impediva ai peccatori di fuggire, fiaccava loro le ginocchia.

Giunge il Nuncio, ad annunziare la reciproca uccisione de' fratelli, τὴν ἀδελφοκτονίαν, *come dice lo Scol.*

Τρίτον ἐπεισόδιον.

(vv. 777-806).

—

Ἄγγελος.

θαρσεῖτε, παῖδες μητέρων τεθραμμέναι.
πόλις πέφευγεν ἥδε δούλιον ζυγόν·
πέπτωκεν ἀνδρῶν ὀβρίμων κομπάσματα,
πόλις δ' ἐν εὐδίᾳ τε καὶ κλυδωνίου
πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο.
στέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις
ἐφραξάμεσθα μονομάχοισι προστάταις.
καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασιν·
τὰς δ' ἑβδόμας ὁ σεμνὸς ἑβδομαγέτας
ἄναξ Ἀπόλλων εἵλετ', Οἰδίπου γένει
κραίνων παλαιὰς Λαΐου δυσβουλίας.

Χορός.

τί δ' ἐστὶ πρᾶγμα νεόκοτον πόλει πλέον;

Ἄγγελος.

[πόλις σέσωσται· βασιλέως δ' ὁμόσποροι]
ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων.

Χορός.

τίνες; τί δ' εἶπας; παραφρονῶ φόβῳ λόγου.

777. μητέρων τεθραμμέναι, che cosa il poeta voglia dire non è chiaro. — **780.** ἐν εὐδίᾳ, sott. ἐστί, metaf.: il sereno che tien dietro alla bufera. — **781.** ἄντλον è l'onda marina che invade la nave. — **782.** προστάταις con difensori capaci (φερεγγύοις) di combattere in singolare tenzone (μονομάχοισι). — **785.** ἑβδομαγέτας, già gli antichi erano incerti perchè Apollo fosse detto così; ma è probabile che voglia dire semplicemente: difensore di questa settima porta. — **787.** δυσβουλίας *mala consilia*, qui equivale ad ἀράς. — **788.** τί πλέον; = τί ἄλλον; — νεόκοτον = νέον, lo Scol.: νεωστὶ κατεσκευασμένον. — **790.** ἐκ χερῶν αὐτοκτόνων, noi diremo: per mano l'uno dell'altro; il greco dice: per mani suicide. — **791.** παραφρονῶ sono fuori di me per la paura di ciò che tu vuoi dire (λόγου). —

Ἄγγελος.

φρονοῦσα νῦν ἄκουσον, Οἰδίπου τόκω

Χορός.

οἴ 'γὼ τάλαινα, μάντις εἰμὶ τῶν κακῶν.

Ἄγγελος.

οὐδ' ἀμφιλέκτως μὴν κατεσποδημένοι

Χορός.

ἐκεῖθι κεῖσθον; βαρέα δ' οὖν ὅμως φράσον.

Ἄγγελος.

οὕτως ἀδελφαῖς χερσὶν ἠναίροντ' ἄγαν·

Χορός.

οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα.

Ἄγγελος.

αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος.
τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα·
πόλιν μὲν εὖ πράσσουσαν, οἱ δ' ἐπιστάται,
δισσὼ στρατηγὼ, διέλαχον σφυρηλάτῳ
Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν.
ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθόνα
πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι.
πόλις σέσωται· βασιλέοιν δ' ὁμοσπόροιν
πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ.

792. τόκω, il Coro, commosso, non aspetta la continuazione della frase, ed esclama: οἴ ἐγὼ ecc.; il Nuncio continua al v. 794 la frase interrotta: indubbiamente (οὐδ' ἀμφιλέκτως), per verità (μὴν) uccisi (κατ-εσποδη-μένοι), e il Coro, ancora impaziente, non lo lascia continuare, ma finisce lui la frase, chiedendo, maravigliato: là essi caddero? (ἐκεῖθι κεῖσθον;). — **797**. οὕτως ... ἄγαν così, pur troppo. — ὁ δαίμων, cioè Apollo, κοινός imparziale; e il Nuncio aggiunge: αὐτός egli stesso, Apollo. — **799**. πάρα = πάρεστι possiamo. — **800**. πόλιν εὖ πράσσουσαν, il participio dipende da χαίρειν, ma nota il passaggio dalla costruzione dipendente partecipiale, alla costruzione diretta: οἱ δὲ ... ἔλαχον (invece di τοὺς δ' ἐπιστάτας διαλαχόντας... dipendente da δακρύεσθαι). — **801**. σφυρηλάτῳ (σφῦρα martello, ἐλάω, ἐλαύνω batto) Σκύθῃ (usato come aggett.) σιδήρῳ, v. al v. 715. — παμ-πησίαν (cfr. πέ-πα-μαι = κέ-κτη-μαι) διέλαχον si divisero tutto il possesso. — **803**. ἕξουσι ..., appunto ciò che il Coro aveva preveduto, v. v. 719. — φορούμενοι può congiungersi con ἐν ταφῇ, ovvero intendersi: portati, trascinati in rovina. — **805**. ὁμο-σπόροιν fratelli, cfr. al v. 739, genit. dipendente da αἷμα.

Τρίτον στάσιμον.

(vv. 807-940).

—

Χορός.

ὦ μεγάλε Ζεῦ καὶ πολιοῦχοι
δαίμονες, οἳ δὴ Κάδμου πύργους
τούσδε ῥύεσθε,
πότερον χαίρω κἀπολολύξω
πόλεως ἀσινεῖ σωτῆρι,
ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας
ἀτέκνους κλαύσω πολεμάρχους;
οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν
καὶ πολυνεικεῖς
ὤλοντ' ἀσεβεῖ διανοίᾳ.

Strofe.

ὦ μέλαινα καὶ τελεία
γένεος Οἰδίπου τ' ἀρά,
κακόν με καρδίαν τι περιπίτνει κρύος.
ἔτευξα τύμβῳ μέλος
Θυιάς, αἱματοσταγεῖς
νεκροὺς κλύουσα δυσμόρως
θανόντας· ἦ δύσορνις ἅ-
δε ξυναυλία δορός.

TERZO STASIMO.

809. οἳ ... ῥύεσθε, voi, che salvate; — ἀπ-ολολύξω giubilerò — ἀσινεῖ σωτῆρι, per la incolume salvezza della città. — **814**. κατ' ἐπωνυμίαν, cfr. al v. 645, 564.

817. τελεία compiuta. — **818**. ἀρά qui sta per 'Ερινύς Furia della famiglia, γένεος, e di Edipo, Οἰδίπου τε. — με καρδίαν, nota quest'uso, frequente già in Omero, dei due accusativi, uno dell'oggetto (με), l'altro di relazione (καρδίαν, nel cuore). — **820**. ἔτευξα μέλος composi già un canto per la loro tomba. — Θυιάς, eccitata, concitata al par di Tiade, baccante, v. v. 485. — ἦ δύσορνις, certamente fu di sinistro augurio (cfr. ὄρνις, ὄρνιθες gli augelli donde traevansi gli augurii). — ξυναυλία δορός, concerto di lancie (ξύν e αὐλός flauto), per dire: guerra, scontro, sia che intenda il combattimento de' due fratelli, sia la guerra tebana.

Antistrofe.

ἐξέπραξεν, οὐδ' ἀπεῖπεν
πατρόθεν εὐκταία φάτις·
βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν.
μέριμνα δ' ἀμφὶ πτόλιν·
θέσφατ' οὐκ ἀμβλύνεται.
ἰὼ πολύστονοι, τόδ' εἰρ-
γάσασθ' ἄπιστον· ἦλθε δ' αἰ-
ακτὰ πήματ' οὐ λόγῳ.

Τάδ' αὐτόδηλα, προῦπτος ἀγγέλου λόγος·
διπλαῖ μέριμναι, διδυμανορέα
κάκ' αὐτοφόνα, δίμοιρα τέ-
λεια τὰ πάθη. τί φῶ;
Τί δ' ἄλλο γ' ἢ πόνοι πόνων
δόμων ἐφέστιοι;
ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον

825-26. πατρόθεν εὐκταία φάτις, l'imprecazione paterna, ἐξέπραξεν produsse (tutto questo). — οὐδ' ἀπεῖπεν essa non vi rinunciò, cioè, non volle ammansarsi. — βουλαὶ ἄπιστοι Λ. i consigli non ascoltati da Lajo; perchè Lajo non ubbidì ai consigli di Apollo; lo Scol.: ἐπεὶ οὐκ ἐπείσθη Ἀπόλλωνι. — δι-ήρκεσαν bastarono (a ciò), ciò produssero. — μέριμνα... la cura (che Lajo ebbe) per la città e i responsi degli oracoli (θέσφατα, nota l'assindeto) non si mitigarono (οὐκ ἀμβλύνεται). Altri intende: le preoccupazioni nostre per la città sono fondate, perchè gli oracoli sempre si compiono, non si sfantano (propriam.: non si ottundono). — **831**. ἄπιστον qui significa: incredibile, inaudito. — οὐ λόγῳ: le lagrimate (αἰακτά, da αἰάζω) sventure giunsero (realmente) non (solo) a parole.

A questo punto vengono portati sulla scena i cadaveri d'Eteocle e Polinice. Lo Scol. dice: ὁρᾷ ὁ Χορὸς τὰ σώματα βασταζόμενα.

833. τάδε αὐτόδηλα ... ecco, la cosa è evidente (si mostra da sè). Circa a τάδε v. ai *Persiani*, v. 1. — προῦπτος (πρό-οπτος), sott.: ἐστί, è visibile (verace) ciò che disse il Nuncio. — **834**. διπλαῖ ... doppio è il cordoglio, due sono gli sciagurati che con vicendevole mano si uccisero (propr.: il danno, κακά, di due uomini, διδυμ-ανορέα, che si uccisero di propria mano, αὐτο-φόνα; ma questi aggettivi greci non si possono tradurre con aggett. nostri). — δίμοιρα τέλεια τὰ πάθη doppio è il danno compiuto. — **836**. τί δ' ἄλλο che cosa altro (devo dire), tranne che sventure su sventure (πόνοι πόνων) sono ospiti domestici in questa casa; propr.: stanno sul focolare domestico, ἐφ-έστιοι. — **839**. ἀλλὰ γόων ... Senso: ma orsù, o amiche (*è il Corifeo che parla al Coro*), abbandonatevi al pianto, battetevi il capo colle mani (in segno di dolore), e intonate il funebre canto che accompagna i morti all'Averno. Ma molte

ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν
πίτυλον, ὃς αἰὲν δι' Ἀχέροντ' ἀμείβεται
τὰν ἄστονον μελάγκροκον
ναύστολον θεωρίδα,
τὰν ἀστιβῆ Ἀπόλλω-
νι, τὰν ἀνάλιον,
πάνδοκον εἰς ἀφανῆ τε χέρσον.

Ἀλλὰ γὰρ ἥκουσ' αἵδ' ἐπὶ πρᾶγος
πικρὸν Ἀντιγόνη τ' ἠδ' Ἰσμήνη,
θρῆνον ἀδελφοῖν· οὐκ ἀμφιβόλως
οἶμαι σφ' ἐρατῶν ἐκ βαθυκόλπων
στηθέων ἥσειν ἄλγος ἐπάξιον.
ἡμᾶς δὲ δίκη πρότερον φήμης

frasi sono per noi intraducibili. Letteral. dice: orsù, remate a seconda del vento dei gemiti, ἐρέσσετε κατ' οὖρον γόων, (battendo) sul capo colle mani, ἀμφὶ κρατὶ χεροῖν, il colpo di remo, πίτυλον, che spinge (la barca), πόμπιμον, il quale sempre suol trasportare, ὃς αἰὲν ἀμείβεται, giù per l'Acheronte la barca (ναύστολον θεωρίδα) piena di gemiti, ἄ-στονον, dalla nera vela, μελάγκροκον, via non mai percorsa da Apollo, τὰν ἀστιβῆ Ἀπόλλωνι, non mai visitata dal sole, τὰν ἀν-άλιον, che conduce nella terra tenebrosa che tutti accoglie (εἰς χέρσον ἀφανῆ καὶ πάνδοκον, cfr. δέχομαι). — πίτυλος è il suono che fa il remo che batte nell'acqua, dicevasi anche πίτυλος quel grido col quale il capo de' rematori accompagnava il movimento del remo, perchè riuscisse uniforme e concorde fra tutti; ed è detto πόμπιμον appunto perchè fa muovere celeremente la barca e ne accompagna il movimento; così al v. 358 disse: πομπίμους χνόας ποδῶν, e πομπίμους πνοάς disse Eurip., *Ecub.*, 1290. — **842.** ἄ-στονον, coll' ἀ- intens.: piena di gemiti. — μελάγ-κροκον che ha la vela nera, κρόκη è: tessuto, tela. — ναύστολον θεωρίδα la navigante teoride, per dire: la nave di Caronte; θεωρίς (ναῦς) era detta una nave che trasportasse oἱ θεωροί, vale a dire coloro che erano incaricati di portare offerte e sacrifici al santuario di qualche divinità a nome della città e più propriamente quella che portava le offerte ad Apollo in Delo. — τὰν ἀστιβῆ (cfr. στείβω) può riferirsi a ναῦν, può sottintendersi ὁδόν. — ἀφανῆ che non si vede; oscuro, tenebroso.

A questo punto entrano in scena Antigone ed Ismene e si pongono presso i cadaveri dei fratelli, Antigone presso quello di Polinice, Ismene presso Eteocle.

846. αἵδε ecco Antigone ed Ismene, v. v. 833 e ai *Persiani*, v. 1. — ἐπὶ πρᾶγος πικρόν per un triste, amaro ufficio. — θρῆνον canto funebre, apposiz. eseget. a πρᾶγος. — **849.** οὐκ ἀμφιβόλως sinceramente, va con ἥσειν (da ἵημι *emittere*). — σφε = αὐτάς — ἐρατῶν ... dal profondo del petto affettuoso. — ἄλγος sta qui per: canto di dolore. — **852.** δίκη = δίκαιόν ἐστι. — πρότερον φήμης prima della (loro) voce, cioè prima

τὸν δυσκέλαδόν θ' ὕμνον Ἐρινύος
ἀχεῖν Ἀίδα τ'
ἐχθρὸν παιᾶν' ἐπιμέλπειν.
ἰώ, δυσαδελφόταται πασῶν ὁπόσαι
στρόφον ἐσθῆσιν περιβάλλονται,
κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς
μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν.

Strofe 1.

Ἰὼ ἰὼ δύσφρονες,
φίλων ἄπειστοι καὶ κακῶν ἀτρύμονες,
πατρῴους δόμους ἑλόν-
τες μέλεοι σὺν αἰχμᾷ.
Μέλεοι δῆθ' οἳ μελέους θανάτους
ηὕροντο δόμων ἐπὶ λύμῃ.

Antistrofe 1.

Ἰὼ ἰὼ δωμάτων
ἐρειψίτοιχοι καὶ πικρὰς μοναρχίας
ἰδόντες, ἤδη διήλ-
λαχθε σὺν σιδάρῳ.

del canto delle sorelle. — **854**. ἀχεῖν far risuonare, ed ἐπι-μέλπειν intonare, dipendono da δίκη, scl.: ἐστί. — δυσ-κέλαδον ingrato, triste. — ἐχθρόν, il *peana* del Dio d'Averno, Ἀίδης, è detto ἐχθρόν odioso, perchè non veniva cantato che in dolorose occasioni. Ma prima che incominci il *peana* cantato dal Coro, il Corifeo rivolge ancora alle sorelle poche parole (vv. 856-859) per attestar loro la sincerità del suo compianto. — **856**. δυσ-αδελφόταται vocativo, o sorelle infelicissime fra tutte le donne. — **857**. στρόφον cintura. — δόλος οὐδείς ... nè v'è alcun dubbio (inganno) che io non emetta alti gemiti (μὴ λιγαίνειν ὀρθῶς) dal profondo dell'animo (ἐκ φρενός).

860. *Qui incomincia il triste canto* (δυσκέλαδον ὕμνον) *dell'Erinne e il peana d'Averno* (Ἀίδα παιᾶν), *accennati dal Corifeo nei* vv. 853 seg. — δύσφρονες sciagurati, parla di Eteocle e Polinice. — κακῶν ἀτρύμονες non domati dalle sventure (paterne; cosicchè se ne procurarono essi stessi delle altre): vollero, infelici, μέλεοι, impadronirsi delle case paterne (ἑλόντες πατρῴους δόμους) col ferro (σὺν αἰχμᾷ) — **864**. μελέους θανάτους miseranda morte. — ἐπὶ λύμῃ colla rovina della loro famiglia (δόμων).

867. ἐρειψίτοιχοι δωμάτων sovvertitori delle proprie case (cfr. ἐρείπω e τοῖχος, v. al v. 186). — ἰδόντες πικρὰς μοναρχίας, letter.: che avete veduto le amare monarchie; per dire: quanto sia stato amaro per ciascheduno di voi l'aspirare alla dominazione di un solo. — **869**. διήλλαχθε (δι-αλλάσσομαι, perf. pass.), ormai vi siete riconciliati tra voi per

Κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα
πότνι' Ἐρινὺς ἐπέκρανεν.

Strofe 2.

Δι' εὐωνύμων τετυμμένοι,
τετυμμένοι δῆθ'
ὁμοσπλάγχνων τε πλευρωμάτων
⏑ ⏑ ⏑ ⏑ ⏑ ⏑ –
αἰαῖ δαιμόνιοι,
αἰαῖ δ' ἀντιφόνων
θανάτων ἀραί.
Διανταίαν λέγεις δόμοισι καὶ
σώμασιν πεπλαγμένους
ἀναυδάτῳ μένει
ἀραίῳ τ' ἐκ πατρὸς
οὐ διχόφρονι πότμῳ.

Antistrofe 2.

Διήκει δὲ καὶ πόλιν στόνος,
στένουσι πύργοι,
στένει πέδον φίλανδρον· μενεῖ
κτέανά τ' ἐπιγόνοις,
δι' ὧν αἰνομόροις,
δι' ὧν νεῖκος ἔβα
καὶ θανάτου τέλος.

mezzo del ferro. L'espressione è amaramente ironica. — **871.** ἐπέκρανεν condusse a fine; fece effettuare. Lo Scol.: ἐτελείωσε τὰς ἐκείνου ἀρὰς κατὰ τῶν παίδων.

872. δι' εὐωνύμων τετυμμένοι (τύπτω) ..., è caduto il verbo della proposizione, dopo il v. 874, che doveva dire: caddero, giacquero o simili, trafitti al lato sinistro e al fianco; il poeta usa sempre il plur. di questi nomi, perchè accenna a tutti e due i fratelli, e perciò appunto dice il fianco ὁμό-σπλαγχνον, consanguineo. — **876.** ἀραὶ ... maledizioni causa di reciproche morti, ἀντι-φόνων θανάτων. v. al v. 186. — **878.** διανταίαν λέγεις ... tu vuoi dire (λέγεις) che furono colpiti (πεπλαγμένους) profondamente (διανταίαν, scl.: πλαγάν, attraversante da parte a parte) e nella casa (famiglia) e nel corpo (δόμοισι καὶ σώμασι) con indicibile furore (ἀν-αυδάτῳ μένει) e con non diversa sorte (οὐ διχόφρονι πότμῳ) maledetta dal padre (ἀραίῳ ἐκ πατρός).

885. πέδον φίλανδρον, Bellotti: « amica terra ». — μενεῖ ... rimarranno ai posteri le (loro) sostanze, per le quali ad essi infelici (αἰνομόροις)

Ἐμοιράσαντο δ' ὀξυκάρδιοι
κτήμαθ' ὥστ' ἴσον λαχεῖν.
διαλλακτῆρι δ' οὐκ
ἀμεμφεία φίλοις,
οὐδ' ἐπίχαρις Ἄρης.

Strofe 3.

Σιδαρόπληκτοι μὲν ὧδ' ἔχουσιν,
σιδαρόπληκτοι δὲ τοὺς μένουσι,
τάχ' ἄν τις εἴποι, τίνες;
τάφων πατρῴων λαχαί.
δόμων μάλ' ἀχάεσσα τοὺς
προπέμπει δαϊκτὴρ γόος αὐ-
τόστονος, αὐτοπήμων,
δαϊόφρων, οὐ φιλογαθής, ἐτύμως
δακρυχέων ἐκ φρενός, ἃ
κλαιομένας μου μινύθει
τοῖνδε δυοῖν ἀνάκτοιν.

Antistrofe 3.

Πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν
ὡς ἐρξάτην πολλὰ μὲν πολίτας,

nacque (ἔβα venne) questione e morte (θανάτου τέλος). — **890.** ὀξυκάρδιοι irosi, rabbiosi. — **892.** διαλλακτῆρι (cfr. δι-αλλάσσομαι) nè mancò la riprensione (οὐκ ἀμέμφεια, sott.: ἐγένετο) da parte degli amici (φίλοις) a chi li conciliò tra loro (διαλλακτῆρι, che fu il ferro, v. al v. 869) nè fu loro gradito (ἐπίχαρις) Marte, per dire: divisero le sostanze colla disapprovazione degli amici, ai quali rincrebbe la lotta che li trasse a vicendevole morte.

895. ὧδε ἔχουσι *sic se habent*, così ora essi sono colpiti dal ferro (per dire: trafitti di lancia), e trafitti come sono gli attende (τοὺς per αὐτούς), chi mai? uno potrebbe domandare (ταχ' ἄν τις εἴποι). A questa domanda, che il Coro si fa da sè stesso, risponde: la sorte della tomba paterna. Senso: Essi col loro reciproco odio null'altro guadagnarono che il sepolcro. — **899.** ἀχάεσσα (cfr. ἠχέω). Lo Scol. dice che è sottinteso προπομπά « un accompagnamento assai risonante dalle loro case accompagna (προπέμπει) costoro (τούς per αὐτούς). Le parole poi γόος δαϊκτὴρ (lacerante), αὐτόστονος (spontaneo), αὐτοπήμων (intimo, profondo), δαϊόφρων (miserando) οὐ φιλογαθὴς (tristissimo, cfr. γηθέω *gaudeo*), δακρυχέων ἐτύμως ἐκ φρενός (che cava lagrime realmente dall'animo) » sarebbero apposizione esegetica di questo sottinteso προπομπά. V. *Appendice critica.* — ἃ (il che) μινύθει (fa venir meno, fa svenire) κλαιομένας μου (me piangente) τοῖνδε δυοῖν ἀνάκτοιν, su questi due principi; κλαίω è qui costruito col genit., invece dell'accus. che è più frequente.

906 seg. πάρεστι δ' εἰπεῖν ..., ben si può dire di questi infelici (fra-

ξένων τε πάντων στίχας
πολυφθόρους ἐν δαΐ.
δυσδαίμων σφιν ἡ τεκοῦσα
πρὸ πασᾶν γυναικῶν ὁπόσαι
τεκνογόνοι κέκληνται.
παῖδα τὸν αὑτᾶς πόσιν αὑτᾷ θεμένα
τούσδ' ἔτεχ', οἳ δ' ὧδ' ἐτελεύ-
τασαν ὑπ' ἀλλαλοφόνοις
χερσὶν ὁμοσπόροισιν.

Strofe 4.

Ὁμόσποροι δῆτα καὶ πανώλεθροι,
διατομαῖς οὐ φίλαις,
ἔριδι μαινομένᾳ,
νείκεος ἐν τελευτᾷ.
πέπαυται δ' ἔχθος, ἐν δὲ γαίᾳ
ζόα φονορύτῳ
μέμικται· κάρτα δ' εἴσ' ὅμαιμοι.
πικρὸς λυτὴρ νεικέων ὁ πόντιος
ξεῖνος ἐκ πυρὸς συθεὶς
θηκτὸς σίδαρος· πικρὸς δὲ χρημάτων
κακὸς δατητὰς Ἄρης, ἀρὰν πατρῴ-
αν τιθεὶς ἀλαθῆ.

telli) che essi fecero molto male (ὡς πολλὰ ἐρξάτην) ai cittadini e alle schiere di tutti gli stranieri (στίχας πάντων ξένων, vale a dire all'esercito Argivo che per istigazione di Polinice mosse all'assalto di Tebe) decimate (πολυφθόρους) in battaglia (ἐν δαΐ). — **910.** σφιν = αὐτῶν. — πρὸ più. Senso: la loro madre ben più di ogni altra è infelice. — **913.** παῖδα ... θεμένα dopo aver sposato suo figlio. — **915.** ὑπ' ἀλλαλοφόνοις χερσὶν per opera delle fraterne (ὁμοσπόροισιν) mani reciprocamente uccidenti.

918. διατομαῖς οὐ φίλαις per le ostili divisioni dei beni; ἔριδι μαινομένᾳ con dissennata questione. — νείκεος ἐν τελευτᾷ, va unito con πανώλεθροι, interamente rovinati pel risultato finale della loro contesa. — **922.** ζόα (le loro vite) μέμικται (sono unite insieme) ἐν γαίᾳ φονορύτῳ (nella terra cosparsa di sangue, cfr. ῥέω) per dire: disuniti in vita si trovarono uniti in morte sul terreno intriso del sangue loro. — ὅμαιμοι sono davvero consanguinei, in quanto che mescolarono insieme il sangue loro; bada al doppio significato di ὅμαιμος (αἷμα) eguali di sangue. — **924.** ὁ πόντιος ξεῖνος σίδαρος, cfr. al v. 715, dove aveva detto il ferro ἄποικος Σκυθῶν, qui lo dice: ospite Pontio, perchè ai Greci questo metallo proveniva dai Calibi delle regioni del Ponto; συθείς (σεύομαι) θηκτός (θήγω) ἐκ πυρός reso acuto col fuoco, battuto a fuoco. — **928.** τι-

Antistrofe 4.

Ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι,
διοσδότων ἀχέων·
ὑπὸ δὲ σώματι γᾶς
πλοῦτος ἄβυσσος ἔσται.
ἰὼ πολλοῖς ἐπανθίσαντες
πόνοισι γενεάν.
τελευταῖαι δ᾽ ἐπηλάλαξαν
ἀραὶ τὸν ὀξὺν νόμον, τετραμμένου
παντρόπῳ φυγᾷ γένους.
ἕστακε δ᾽ Ἄτας τροπαῖον ἐν πύλαις,
ἐν αἷς ἐθείνοντο, καὶ δυοῖν κρατή-
σας ἔληξε δαίμων.

Ἀμοιβαῖον ᾆσμα, ἐπικήδειον ἢ θρῆνος.

(vv. 941-995).

Ἀντιγόνη.

παισθεὶς ἔπαισας.

θεὶς ἀλαθῆ rendendo verace, facendo sì che si avverasse la imprecazione paterna. Lo Scol. nota: ἐπειδὴ ἐπηράσατο διὰ ξιφῶν αὐτοὺς τὴν οὐσίαν νείμασθαι.

929. ἔχουσι ... λαχόντες (λαγχάνω) hanno ciascuno, avendola ottenuta in sorte, la parte di dolori (ἀχέων) che loro mandò Giove (διοσδότων). — 932. ἄβυσσος senza fondo, profondissimo. Senso: essi che in vita aspirarono al dominio di molta terra, ora possederanno (ἔσται, scl. αὐτοῖς) tutta la terra (πλοῦτος γᾶς la ricchezza di terra) profondissima che sta sotto ai loro cadaveri. È detto con amara ironia. — 933. ἐπανθίσαντες, espressione questa pure ironica: infiorarono la loro stirpe di molte sventure; gettarono in molte sventure la loro famiglia. — 934. τελευταῖαι ἀραὶ ...; finalmente le Erinni intonarono l'acuto canto (nomo) della vittoria (ἐπηλάλαξαν τὸν ὀξὺν νόμον), dopochè tutta la stirpe fu disfatta (τετραμμένου γένους, genit. assolut. παντρόπῳ φυγᾷ = εἰς φυγὴν propr.: fu volta interamente in fuga). — 938. Il trofeo di Ate (dea della sventura) fu eretto sulla porta (τροπαῖον Ἄτης ἕστακε ἐν πύλαις) della città sulla quale venivano colpiti (ἐθείνοντο) e il dio (δαίμων) riuscito vincitore di tutti e due i fratelli (κρατήσας δυοῖν) finalmente si acquietò soddisfatto (ἔληξε cessò, cioè dal perseguitarli).

941 seg. *Antigone sta presso al cadavere di Polinice, Ismene a quello di Eteocle, e ciascheduna rivolge brevi frasi e parole di compianto all'estinto fratello; frasi e parole che si corrispondono e richiamano tra loro.*

Ἰσμήνη.

σὺ δ' ἔθανες κατακτανών.

Ἀντιγόνη.

δορὶ δ' ἔκανες.

Ἰσμήνη.

δορὶ δ' ἔθανες.

Ἀντιγόνη.

μελεόπονος.

Ἰσμήνη.

μελεοπαθής.

Ἀντιγόνη.

ἴτω γόος.

Ἰσμήνη.

ἴτω δάκρυ.

Ἀντιγόνη καὶ Ἰσμήνη.

πρόκεισαι κατακτάς.

Strofe.

Ἀντιγόνη.

ἠέ.

Ἰσμήνη.

ἠέ.

Ἀντιγόνη.

μαίνεται γόοισι φρήν.

Ἰσμήνη.

ἐντὸς δὲ καρδία στένει.

945. μελεόπονος tu facesti (πονέω) cose miserande (μέλεα). — μελεοπαθής tu soffristi cose miserande (πάσχω). — ἴτω γόος orsù, si dia libero corso al pianto.

Ἀντιγόνη.

ἰὼ ἰώ, πανδάκρυτε σύ.

Ἰσμήνη.

σὺ δ' αὖτε καὶ πανάθλιε.

Ἀντιγόνη.

πρὸς φίλου ἔφθισο.

Ἰσμήνη.

καὶ φίλον ἔκτανες.

Ἀντιγόνη.

διπλᾶ λέγειν.

Ἰσμήνη.

διπλᾶ δ' ὁρᾶν.

Ἀντιγόνη.

ἀχέων τοίων τάδ' ἐγγύθεν.

Ἰσμήνη.

πέλας δ' αἵδ' ἀδελφαὶ ἀδελφεῶν.

Ἀντιγόνη καὶ Ἰσμήνη.

ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά,
μέλαιν' Ἐρυνὺς ἦ μεγασθενής τις εἶ.

Antistrofe.

Ἀντιγόνη.

ἠέ.

954. πανδάκρυτε σύ tu sei ben degno d'essere compianto. — πανάθλιε infelicissimo, v. v. 111. — **958.** διπλᾶ λέγειν, Bellotti: « oh doppio orrore a dirsi! — doppio a vedersi ». — **960.** ἀχέων τοίων τάδε ἐγγύθεν e noi (τάδε, v. ai *Persiani*, v. 1) ci troviamo presso a tali sventure. — **961.** αἵδε noi sorelle a questi fratelli. — **962.** Questi tre versi sono cantati insieme dalle due sorelle, e sono ripetuti sotto, come ritornello, v. 977. — Μοῖρα βαρυδότειρα oh Parca, datrice di dolori, μογερά miseranda. — **964.** ἦ certamente, davvero.

Ἰσμήνη.

ἠέ.

Ἀντιγόνη.

δυσθέατα πήματα

Ἰσμήνη.

ἐδείξατ᾽ ἐκ φυγᾶς ἐμοί.

Ἀντιγόνη.

οὐδ᾽ ἵκεθ᾽ ὡς κατέκτανεν.

Ἰσμήνη.

συθεὶς δὲ πνεῦμ᾽ ἀπώλεσεν.

Ἀντιγόνη.

ὤλεσε δῆτα.

Ἰσμήνη.

καὶ τόνδ᾽ ἐνόσφισεν.

Ἀντιγόνη.

τάλαν γένος.

Ἰσμήνη.

τάλαν πάθος.

Ἀντιγόνη.

δύστονα κήδε᾽ ὁμώνυμα.

Ἰσμήνη.

δίυγρα τριπάλτων πημάτων.

968. ἐδείξατο ἐκ φυγᾶς ἐμοί, Ismene continua la frase incominciata da Antigone; questa dice: dolori indicibili (propr.: tristi a vedersi), e quella continua: mi procurò (mi mostrò) costui, Polinice, volendo tornare dall'esilio. — **969.** οὐδ᾽ ἵκεθ᾽ ὡς κατέκτανεν nè (egli vi) ritornò (giunse ad entrare in città), che (costui, Eteocle) lo uccise. — συθείς, scosso, assalito. — **972.** καὶ τόνδε ἐνόσφισε ed anche lui, Eteocle, uccise Polinice (soggetto) = e anche costui fu ucciso da Pol. — **975.** δύστονα κήδε᾽ ὁμώνυμα deplorabili (sono) queste dolorose cure (κήδεα) per persone che portano il medesimo nome, cioè per congiunti e affini. — — **976.** δίυγρα, sott.: κήδεα, deplorevoli davvero queste cure, per dolori innumerevoli (πημάτων τριπάλτων, propr.: tre volte agitati).

'Αντιγόνη καὶ 'Ισμήνη.

ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά,
μέλαιν' Ἐρινὺς ἦ μεγασθενής τις εἶ.

'Αντιγόνη.

σὺ τοίνυν οἶσθα διαπερῶν,

'Ισμήνη.

σὺ δ' οὐδὲν ὕστερος μαθών.

'Αντιγόνη.

ἐπεὶ κατῆλθες ἐς πόλιν.

'Ισμήνη.

δορός γε τῷδ' ἀντηρέτας.

'Αντιγόνη.

ὀλοὰ λέγειν.

'Ισμήνη.

ὀλοὰ δ' ὁρᾶν.

'Αντιγόνη.

ἰὼ πόνος.

'Ισμήνη.

ἰὼ κακά.

'Αντιγόνη.

δώμασι καὶ χθονί.

'Ισμήνη.

καὶ τὸ πρόσω γ' ἐμοί.

980. σὺ οἶσθα διαπερῶν tu, o Polinice, ben sapesti (quanto sia potente l'Erinni paterna) quando passasti (διαπερῶν, nel significato di morire): il senso continua al v. 982: ἐπεὶ κατῆλθες ἐς πόλιν, ma invece di dire: per ritornare in patria, dice: poichè ritornasti (cercasti di ritornare). — **983.** δορὸς ἀντηρέτας avversario in guerra, sottint.: ἐγένετο fu, τῷδε, cioè a Eteocle. — **984.** ὀλοὰ λέγειν, v. v. 958. — **988.** δώμασι καὶ χθονί e per la famiglia dei principi e pel paese. — **989.** καὶ τὸ

'Αντιγόνη.

ἰὼ ἰὼ δυστάνων κακῶν ἄναξ.

'Ισμήνη.

ἰὼ πάντων πολυπονώτατοι.

'Αντιγόνη καὶ 'Ισμήνη.

ἰὼ δαιμονῶντες ἐν ἄτᾳ.

'Αντιγόνη.

ἰὼ ποῦ σφε θήσομεν χθονός;

'Ισμήνη.

ἰὼ ὅπου τιμιώτατον.

'Αντιγόνη καὶ 'Ισμήνη.

ἰὼ ἰὼ πῆμα πατρὶ πάρευνον.

'Επίλογος.

(vv. 996-1070).

Κῆρυξ.

δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ
δήμου προβούλοις τῆσδε Καδμείας πόλεως.
'Ετεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς
θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς·

πρόσω e sopratutto anche per me. — **990**. Antigone chiama Polinice ἄναξ κακῶν, perchè non riuscì a regnare come Eteocle su Tebe; come se volesse dire: oh tu, non re di Tebe, ma di sventure. — **992**. δαιμονῶντες ἐν ἄτᾳ, Bellotti: « oh, posseduti da rea discordia! » propr.: voi posseduti da un demone, furibondi, nella (vostra) sventura. — σφε = αὐτούς. — **995**. πῆμα ahi sciagura! πατρὶ πάρευνον, prop. sposa (compagna di letto) al padre; per dire: eguale a quella del padre.

996. δοκοῦντα καὶ δόξαντα, pres. e aor. equivalgono a un perfetto, δεδογμένα = i decreti. — **998**. ἐπ' εὐνοίᾳ χθονός per la (sua) affezione a (questa) terra. — **999**. φιλαῖς κατασκαφαῖς con onorevole sepoltura (quale

στέγων γὰρ ἐχθροὺς θάνατον εἵλετ' ἐν πόλει,
ἱερῶν πατρῴων ὅσιος ὢν μομφῆς ἄτερ
τέθνηκεν οὗπερ τοῖς νέοις θνῄσκειν καλόν.
οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν.
τούτου δ' ἀδελφὸν τόνδε Πολυνείκους νεκρὸν
ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσίν,
ὡς ὄντ' ἀναστατῆρα Καδμείων χθονός,
εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
τῷ τοῦδ'. ἄγος δὲ καὶ θανὼν κεκτήσεται
θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε
στράτευμ' ἐπακτὸν ἐμβαλὼν ᾕρει πόλιν.
οὕτω πετηνῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ
ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν,
καὶ μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα
μήτ' ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο.
τοιαῦτ' ἔδοξεν τῷδε Καδμείων τέλει.

'Αντιγόνη.

ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω·
ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
ἐγώ σφε θάψω κἀνὰ κίνδυνον βαλῶ
θάψασ' ἀδελφὸν τὸν ἐμόν, οὐδ' αἰσχύνομαι

si conviene ad amici). — **1000**. στέγων ἐχθρούς proteggendo (la città contro) gli inimici; nota la costruz. coll'accus. come al v. 202. — ἱερῶν πατρ., genit. dipend. da ὅσιος. — **1002**. οὗπερ là dove. — **1005**. ἔξω βαλεῖν gettarlo fuori (di città). — **1006**. ὡς ὄντα perchè fu = ἅτε ὄντα — εἰ μὴ ... ἔστη se non fosse stato ...; è sottint. l'apodosi (τοιοῦτος ἂν ἐγένετο). — **1008**. ἄγος ... espiazione (di qualche colpa). — θεῶν πατρῴων va con κεκτήσεται = ὑπὸ, o παρὰ θεῶν π. — ἐπακτόν straniero (da ἐπ-άγω). — ᾕρει, imperf. di conato: voleva prendere. — **1011**. τόνδε costui, Polinice. — ὑπ' οἰωνῶν ταφέντα (θάπτω), espressione ironica, per dire: divorato. — τὸ ἐπιτίμιον *poenam*. — **1013**. ὁμαρτεῖν, scl.: αὐτῷ. — χειρώματα τυμβοχόα, è il sogg. di ὁμαρτεῖν, funebri libazioni versate (χέω) colle mani sulla tomba. — **1015**. ἄτιμον εἶναι sia privato dell'onore. — ἐκ-φορᾶς trasporto funebre, genit. dipend. da ἄτιμον. — **1016**. τῷδε τέλει a questa magistratura, — **1018**. συν-θάπτειν seppellire insieme (col fratello). — **1019**. σφε = αὐτόν. — ἀνὰ ... βαλῶ mi assumerò il pericolo. — **1020**. αἰσχύνομαι, costruito col partic. ἔχουσα ἄπιστον non mi vergogno di essere disobbediente; ἄπιστον qui è avverb.; espressione sul tipo di ἀθύμως ἔχω, ἀνδρείως ἔχω e simili. — τήνδε ἀναρχίαν, detto con disprezzo: a questo governo che non è

ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει·
δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν,
μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρός.
τοιγὰρ θέλουσ' ἄκοντι κοινώνει κακῶν,
ψυχή, θανόντι ζῶσα συγγόνῳ φρενί.
τούτου δὲ σάρκας οὐδὲ κοιλογάστορες
λύκοι πάσονται· μὴ δοκησάτω τινί.
τάφον γὰρ αὐτὴ καὶ κατασκαφὰς ἐγὼ,
γυνή περ οὖσα, τῷδε μηχανήσομαι
κόλπῳ φέρουσα βυσσίνου πεπλώματος,
καὐτὴ καλύψω. μηδέ τῳ δόξῃ πάλιν·
θάρσει παρέσται μηχανὴ δραστήριος.

Κῆρυξ.

αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τάδε.

Ἀντιγόνη.

αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί.

Κῆρυξ.

τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά.

Ἀντιγόνη.

τράχυν', ἄθαπτος δ' οὗτος οὐ γενήσεται.

governo, in quanto che il re era morto. Altri intende: con tale disprezzo del governo. — **1022**. δεινὸν, sott.: ἐστί, Bellotti: «possente cosa è il comun sangue»; σπλάγχνον viscere, οὗ donde, dalle quali. — πατρός e μητρός sono genit. di apposizione ad οὗ. — **1024**. Antigone parla alla sua propria anima (ψυχή o anima mia), dicendole: fatti partecipe volonterosa (θέλουσα) dei mali a lui (Polinice) che nol vorrebbe (ἄκοντι), tu viva (ζῶσα) a lui morto (θανόντι) con animo fraterno. — **1026**. κοιλο-γάστορες famelici (dal ventre vuoto). — πάσονται da πατέομαι mangiare (ma πᾶσονται da πάομαι = κτάομαι). — **1029**. τῷδε, cioè a Polinice. — κόλπῳ φέρουσα, poichè non può intendersi dell'intero cadavere, s'intende: portando *le ceneri di lui* nel seno del peplo; ma meglio è intendere: portando nel seno del peplo la terra da versare sul cadavere di lui (cfr. καλύψω del v. 1031), bastando ciò per compiere simbolicamente il rito della sepoltura, come avviene appunto nella *Antigone* di Sofocle. — **1031**. τῳ = τινί. — πάλιν contrariamente... nè alcuno creda di poter opporsi. — **1032**. παρ-έσται assisterà, verrà in aiuto — μηχανὴ δραστήριος (cfr. δράω) un'efficace opera. — **1033**. βιάζεσθαι far violenza (alle leggi), disobbedire. — περισσά cose inutili. — **1036**. τράχυνε, riattaccandosi al τραχύς detto dal Banditore, Antigone risponde:

Κῆρυξ.

ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ;

Ἀντιγόνη.

ἤδη τὰ τοῦ δ' οὐ διατετίμηται θεοῖς.

Κῆρυξ.

οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.

Ἀντιγόνη.

παθὼν κακῶς κακοῖσιν ἀντημείβετο.

Κῆρυξ.

ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.

Ἀντιγόνη.

ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.
ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.

Κῆρυξ.

ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγώ.

Χορός.

φεῦ φεῦ

fa pure (= di' pure) che egli sia aspro, fiero, quanto vuoi. — **1038.** διατετίμηται, parola diversamente interpretata. Il Bellotti traduce: « Nel dispregio dei Numi egli non era », prendendo διατετίμηται, collo Schütz e con altri, come composto di δια-ἀτιμάω, disprezzare, composto che non avrebbe altri esempi, come non ne avrebbe il δυσ-τετίμηται suggerito dall'Hermann. Ma inoltre il pensiero sarebbe in contradizione con tutto il drama, che mostrò l'uno e l'altro fratello perseguitati dall'odio degli Dei. A me pare che qui debba intendersi: la sorte di lui (τὰ τοῦδε) non è stimata dagli Dei diversamente (δια-τιμάω) da quella del fratello, e quindi sono da trattarsi egualmente. Al che conviene la risposta del Banditore: no (non era stimata diversamente), prima che egli non mettesse in pericolo la sua città. — **1041.** εἰς ἅπαντας ἀνθ' ἑνός, senso: invece di muovere contro il fratello, mosse guerra a tutti i cittadini. — **1042.** ἔρις ... Anche questo verso è poco chiaro; il Bellotti traduce: « A metter fine ai detti Spesso vien la Contesa ultima dea ». — **1044.** αὐτόβουλος ἴσθι pensa, fa come vuoi.

ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
Κῆρες Ἐρινύες, αἵτ' Οἰδιπόδα
γένος ὠλέσατε. πρέμνοθεν αὕτως,
τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι;
πῶς τολμήσω μήτε σε κλαίειν
μήτε προπέμπειν ἐπὶ τύμβον;
ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι
δεῖμα πολιτῶν.
σύ γε μὴν πολλῶν πενθητήρων
τεύξῃ· κεῖνος δ' ὁ τάλας ἄγοος
μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς
εἶσιν· τίς ἂν οὖν τὰ πίθοιτο;

Ἡμίχορος α'.

δράτω τι πόλις καὶ μὴ δράτω
τοὺς κλαίοντας Πολυνείκη·
ἡμεῖς γὰρ ἴμεν καὶ συνθάψομεν
αἵδε προπομποί. καὶ γὰρ γενεᾷ
κοινὸν τόδ' ἄχος, καὶ πόλις ἄλλως
ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.

Ἡμίχορος β'.

ἡμεῖς δ' ἅμα τῷδ', ὥσπερ τε πόλις
καὶ τὸ δίκαιον ξυνεπαινεῖ.

1046. φθερσι-γενεῖς struggitrici (φθείρω) della famiglia. — **1049**. τι μήσωμαι; (da μήδομαι) che pensare? — προπέμπειν accompagnare. — **1053**. δεῖμα per timore dei cittadini ne sono distolto (ἀπο-τρέπομαι). — **1054**. σύ γε tu almeno, o Eteocle... — τεύξῃ (τυγχάνω). — κεῖνος δέ ma quello, Polinice. — **1056**. μονόκλαυτον θρῆνον canto funebre cantato da una sola voce = θρῆνον μόνης ἀδελφῆς. — **1057**. πίθοιτο; chi mai potrebbe ubbidire a tali ordini?

Qui il Coro si divide in due parti: una, la prima, accompagna, con Antigone, il cadavere di Polinice, l'altra, con Ismene, quello di Eteocle, che vengono portati fuori dalla scena.

1058. δράτω ... faccia o non faccia (ciò che minaccia) a coloro che piangono P. — **1061**. αἵδε προπομποί noi qui (sue) accompagnatrici. — γενεᾷ alla famiglia dei fratelli. — **1063**. ἐπαινεῖ approva; cioè il pensiero dei cittadini può mutare, e stimar giusto ciò che prima non stimava, quando sarà meno concitato. — **1064**. ἅμα τῷδε, cioè Eteocle. — μετὰ μάκαρας ... dopo gli Dei e la potenza di Giove fu lui (ὅδε) che

μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν
ὅδε Καδμείων ἤρυξε πόλιν
μὴ ἀνατραπῆναι
μήδ' ἀλλοδαπῷ κύματι φωτῶν
κατακλυσθῆναι τὰ μάλιστα.

—

τέλος.

salvò la città. — **1069.** ἀλλοδαπῷ d'altra specie; l'epiteto che spetterebbe a φωτῶν attribuito a κύματι.

APPENDICE CRITICA

13. ὥραν, dallo Scol. appare che gli antichi erano incerti se leggere ὤραν = φροντίδα, o ὥραν = ἡλικίαν, perchè nota: ὁ νοῦς (il senso) οὕτως· ἕκαστον ὑμῶν ἔχοντα φροντίδα τῆς πόλεως· ἢ ἕκαστον πρὸς τὴν ἡλικίαν βοηθεῖν τῇ πόλει ὡς πρέπον. — Il Med. ha ὥστι συμπρεπές come cosa di grande convenienza (τι in senso pregnante, cfr. ἔδοξε τι λέγειν e simili); ma molte furono le congetture de' dotti per cambiarlo. L'Heinsoeth ha ἥτις ἐμπρεπής la premura *che è conveniente*, il Ritschl: ὥς τις ἐμπρεπής, e il Dindorf: ᾧ 'στι συμπρεπὲς cui è conveniente; Lowinski ὥσπερ οὖν πρέπει.

19. οἰκιστῆρας, οἰκιστήρ di regola vuol dire *fondatore di colonie*, qui invece è nel significato di *abitante, cittadino*; in tale significato si usa οἰκητήρ (che il Dindorf, il Weil ed altri posero nel testo) e più spesso οἰκητής -οῦ.

25. Il Ritschl, seguìto dal Weil e da altri, a πυρὸς δίχα sostituì φάους δίχα « senza la luce », cioè senza la vista. Ma il poeta vuol dire che Tiresia traeva gli auspicî dagli augelli, badando coll'udito al loro canto, e non si serviva invece di augurii dedotti dai sacrifici, perchè non poteva vedere il fuoco, se brillava o meno, se dava segni favorevoli o contrari. Non vedo ragione alcuna per mutare il testo.

29. Non è punto necessario sostituire al futuro il presente κἀπιβουλεύειν, col Dindorf, il Weil ed altri.

71. πρέμνοθεν è congettura felice del Walkenär, suggerita dall' ἐκθαμνίσητε che segue. Il cod. Med. ha πρυμνόθεν dalla poppa, riferendosi alla similitudine della nave.

83. ἔλεδέμας ha il cod. Med. colla sigla ζτ (ζήτει cerca) in margine. Da una seconda mano è corretto in ἐλεδεμνάς, colla stessa sigla nell'altro margine. La parola non ha altri esempi, e lo Scoliasta bizantino si studia d'interpretarla ἡ τὸ δέμας ἡμῶν τῷ φόβῳ λαμβάνουσα la quale prende di paura il nostro corpo (= εἶλε δέμας), ovvero ἡ ἐλοῦσα ἀπὸ τῶν δεμνίων che ci fa balzare dal letto (per paura). — Senza esempi è pure la

parola πεδιοπλοκτύπος, che lo stesso Scol. bizantino parafrasa così: καὶ τὰ τῆς γῆς δέ μου πεδία κατακτυπούμενα τοῖς ποσὶ τῶν ἵππων [καὶ τῶν ὅπλων] ποιεῖ μοῦ προσπελάζειν τὸν ἦχον τοῖς ὠσίν. Dal che si vede che egli probabilmente leggeva o voleva leggere ἐμὰ πεδία, e ὠτὶ χρίμπτεται βοάν, prendendo χρίμπτεται in senso transit. causativo: fa giungere al mio orecchio il grido; osserva infatti che τινὲς leggevano ὠτὶ χρίμπτεται βοά. Le congetture dei moderni per sanare questo passo, evidentemente corrotto, sono infinite. Il Passow: ἐλασιδέμνιός, πεδιοπλόκτυπος βοὰ χρίμπτεται, ποτᾶται, l'Hermann: ἐλέδεμας δὴ διὰ πεδί' ὁπλόκτυπ' ὠτὶ χρίμπτει βοὰ..., il Dindorf: εἷλε δ' ἐμὰς φρένας δέος· ὅπλων κτύπος ποτιχρίμπτεται· διὰ πέδον βοὰ ποτᾶται ecc. Non citeremo altri emendamenti. Tutti si sforzano di far risultare il pensiero medesimo, quale dal contesto è evidentemente suggerito: il rumore de' cavalli e de' cocchi dell'esercito che si avanza sul piano mi riempiono di paura (esso risuona come torrente che precipita dal monte).

88. Invece di βοᾷ (dativ.), altri ha βοά e punto dopo τειχέων, (grande) strepito è sopra le mura. — Il Dindorf sostituisce, senza ragione, τάφρων a τειχέων e λευκοπρεπής a λεύκασπις.

99. ἀμφίλιταν non ha altri esempi; abbiamo λιταὶ *preces*, λιτανεία preghiera, λίσσομαι, λίττομαι, λιταίνω, λιτάζομαι, λιτανεύω pregare, λιτανός *praecatorius*. Il Dindorf, il Ritschl, il Weil lessero: ἀμφὶ λιτάν' ἕξομεν, *ubi* λιτανὰ *substantive dictum est pro* λιτάς. Ed anche nel Med., di seconda mano, si ha: ἀμφὶ λιτάν. Cfr. nelle *Supplici*, 809: οὐράνια μέλη λιτανὰ θεοῖσι.

116. μινύρονται hanno Dindorf, Weil e altri; ma non vedo ragione di mutare.

124. Dindorf sostituì, senza ragione plausibile, πόνων a φόνων.

132. Invece di στόνων ἀυτᾶς sarebbe forse da leggersi στόνων ἀυταῖς con grida di dolore, emettendo grida di dolore.

133. Il Med. ha ἐντυκάζου che non ha esempi; εὐτυκάζου è di un codice Laurenziano e fu accettato dal Dindorf e da tutti. — Uno Scol. leggeva εὖ πυκάζου rendi fisso, saldo; e forse era questa la lezione giusta.

144. Pare che lo Scol. leggesse ἄρχεται, perchè commenta προκατάρχεσθαι.

147. Invece di Διόθεν, il Weil ha παῖ Διὸς ὅθεν che è congettura del Bergk, riferendolo ad Apollo. Già il Bellotti aveva così inteso, unendo πολεμόκραντον ecc. ai versi seguenti, e interpretandolo come apposizione a Ὄγκα: « Oh casta Dea, cui Giove Preside pose ai bellicosi studi, Oh vittrice di pugne, Onca regina ».

149. Invece di πρὸ πόλεως, il Ritschl scrive ὑπὲρ πόλεως, e il Dindorf προφρόνως, cambiamenti punto necessari.

156. Il Ritschl muta, senza ragione, l'avverbio in aggett. πανδίκους (λιτάς).

162. Il Ritschl ha ἤξετε per ἀρήξατε.

176. Il Ritschl ha ὀφέλλετε, dei codici più recenti.

177. Dopo il verso: αὐτοὶ ... πορθούμεθα, i codici più recenti hanno questo verso: τοιαῦτά τἂν γυναιξὶ συνναίων ἔχοις « questo ti accade coll'abitare insieme con donne », il quale manca al cod. Med. Da ciò alcuni dedussero che i codici che contengono tale verso non possano derivare direttamente dal Mediceo. Ma dai più il verso è ritenuto interpolato per opera di qualche grammatico bizantino, posteriormente al Mediceo.

189. Invece di ἀύπνων, il Ritschl ha ἀγρύπνων, che dice la stessa cosa. Il Lachmann, seguito dal Weil e da altri, lesse ἄπυον e δία per *anastrofe*, invece di διά riferendolo ai genitivi che precedono, e στόμια « morsi » come soggetto: i morsi dei freni temprati a fuoco risuonavano (ἤπυον) attraverso le briglie (dando a πηδαλίων ἱππικῶν questo significato).

203. Il Med., mano prima, attribuisce al Coro le parole οὔκουν ... θεῶν; alle quali pone il punto interrogativo; e a Eteocle le seguenti. Coro: Non è questo, cómpito degli Dei? (cioè il difendere la città); Eteocle risponde: ma dicono che gli Dei abbandonino una città, quando è présa dagli inimici. Così le interpretano anche il Ritschl e il Weil, i quali mutano τοὺς τῆς in αὐτοὺς e così cambiano in genitivo assoluto l' ἁλούσης πόλεως. Ma così si romperebbe la simmetria del Commo. V. *Appendice Metrica.*

208. Herwerden nota: « quis non potius credat ipsam urbem dici a poeta conflagrari quam cives (στράτευμα)! Conieci: καὶ στρατοῦ δαπτομέναν πυρὶ δαΐῳ ». Il Wecklein sospetta (*fortasse*) debba leggersi: πόλιν δαΐῳ θ'· ἁπτόμενον πυρὶ πύργωμα.

211. Invece di γυνὴ σωτῆρος, il Dindorf e il Ritschl hanno γονῆς σωτῆρος, salvatrice della discendenza (della famiglia), apposiz. al genit. εὐπραξίας.

217. Invece di πειρωμένοις, il Dindorf, il Ritschl, e altri hanno πειρωμένων, come genit. assol.

236. Il Ritschl οὐ σῖγα;

238. Stadtmüller propone: οὐκ ἐς φθόρον; σῖγ' οὐκ ἀνασχήσῃ τάδε;

259. Il Dindorf a οὐδ' ἀπ' Ἰσ. λέγω sostituì ὕδατά τ' Ἰσμηνοῦ λέγω, il Ritschl ὕδατί τ' Ἰσμηνοῦ λέγω. — Il Med. ha ἰσμινοῦ, l'Ἰσμηνὸν è congettura di Schuetz.

263-265. Seguii la lezione del Weil. — Il Mediceo dà così questi versi:

θήσειν τροπαῖα, πολεμίων δ' ἐσθήματα
λάφυρα δαΐων δουρίπληχθ' ἁγνοῖς δόμοις
στέψω πρὸ ναῶν πολεμίων δ' ἐσθήματα.

evidentemente corrotti per dittografie ed altro.

Il Ritschl ha:

θήσειν τροπαῖα, δαΐων δ' ἐσθήματα
στέψω πρὸ ναῶν δουρίπηχθ' ἁγνοῖς δόμοις.

Il Dindorf chiude fra parentesi quadre, come interpolati, i vv. 261-263, conserva il v. 264 quale è nel Med. leggendo δουρίπηχθ' invece di δουρίπληχθ', e chiude fra parentesi quadre il v. 265 (del Mediceo).

Il Wecklein propose dapprima:

λάφυρα δᾴων δουρίπηχθ' ἁγνοῖς δόμοις
στέψω πρὸ ναῶν, πολεμίων ἐσθήματα

poscia (*Jahresbericht* ..., 1889, p. 403): μήλοισιν αἱμάσσων τόθ' ἑστίας θεῶν θήσω λάφυρα, δαΐων δ' ἐσθήματα στέψω πρὸ ναῶν δουρίπηχθ' ἁγνοῖς δόμοις. Le parole πολεμίων δ' ἐσθήματα mancano in due codici più recenti; e in parecchi manca l'intero verso.

281. Invece di πάντρομος, dietro una correzione segnata nel Medic., il Ritschl e altri hanno πάντροφος vorace.

302. Il Ritschl ha: ἄταν, ῥίψοπλον ἄταν. — Il Dindorf ha: νόσον, ῥίψοπλον ἄταν.

306. Dopo εὔεδροι il Ritschl suppone una breve lacuna. — Il Dindorf legge: ῥύτορες ἔλθετ' εὔεδροί τε στάθητ'.

311. Invece di θεόθεν il Weil ha πεδόθεν *funditus*, dalle fondamenta.

317. Il Ritschl: βοᾷ δὲ καὶ κενουμένα πόλις, e cancella il punto dopo μιξοθρόου.

320. Herwerden legge: κλαυτὸν δ' ἀστυδρόμοις ὠμόδροπον γονέων προπάροιθεν διαμεῖψαι δωμάτων στυγερὰν ὁδὸν e traduce: *Miserum est immaturam decerptam ab hoste (puellam) ante ora parentum ex aedibus paternis abduci in servitutem. Verba autem* διαμεῖψαι ... ὁδόν *interpretor « pro aedibus odiosam viam commutare », i. e. pro felici via in domo paterna abduci in servitutem.* Cfr. Eurip., *Ifig. Taur.*, 398.

345. Il Dindorf chiude fra parentesi quadre κυρήσας.

350. Il Dindorf: κοινοπήμονες. — Il Wecklein: καινοπήμονες λέχος [προσμένουσιν] αἰχμάλωτον.

351. Il Ritschl ha: τλῆμον αἶσιν αἰχμάλωτον. — Il Dindorf: τλάμογ' εὐνὰν αἰχμάλωτον.

372. Di seconda mano nel Med. a δ' ἔσω è sostituito δὲ τῷ (= αὐτῷ) adottato dal Ritschl, dal Dindorf e da altri.

380 seg. Il Ritschl sostituì βρέμει «freme» a μένει, e nel verso 381 invece di ὁρμαίνει μένων ha ὀργαίνει μένων. — Il Dindorf ha ὁρμαίνει κλύων; col Frey (*De Aeschyli Scholiis Mediceis*, Bonnae, 1857), che crede μένων prodotto, per isbaglio del copista, dal μένει antecedente. — Il Wecklein suggerisce: ὀργᾶται κλύων.

413. Il Ritschl scrive Τύχη, come Ἔριν al v. 416, e quivi πέδῳ, per πέδοι che è congettura del Dindorf.

